Ακαδημία Αθηνών / Academy of Athens

*πολυμαθέες νοῦν οὐκ ἔχουσιν* 235.5 *αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δι' ὀλίγου γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι π ο λ λ α ὶ* 276 *οὐ δοκεῖ μοι χρῆναι παῖδας κτᾶσθαι· ἐνορῶ γὰρ ἐν παίδων κτήσει π ο λ λ ο ὺ ς μὲν καὶ μεγάλους κινδύνους, π ο λ λ ὰ ς δὲ λύπας, ὀλίγα δὲ τὰ εὐθηλέοντα καὶ ταῦτα λεπτά τε καὶ ἀσθενέα* 277.7-8 *καὶ τοῦτο τοσοῦτον διαφέρει, ὅσον ἐνταῦθα μὲν ἔστι τὸν παῖδα λαβεῖν καταθύμιον ἐκ π ο λ λ ῶ ν, οἷον ἂν δέῃ. ἢν δέ τις ποιῆται (*sc. *παῖδα) ἀπὸ ἑωυτοῦ, π ο λ λ ο ὶ ἔνεισι κίνδυνοι· ἀνάγκη γάρ, ὃς ἂν γένηται, τούτῳ χρῆσθαι* 285 *γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀλιγοχρόνιον π ο λ λ ῇ σ ί ν τε κηρσὶ συμπεφυρμένην καὶ ἀμηχανίῃσιν, ὅκως ἄν τις μετρίης τε κτήσιος ἐπιμέληται καὶ μετρῆται ἐπὶ τοῖς ἀναγκαίοις ἡ ταλαιπωρίη* 286 *εὐτυχὴς ὁ ἐπὶ μετρίοισι χρήμασιν εὐθυμεόμενος, δυστυχὴς δὲ ὁ ἐπὶ π ο λ λ ο ῖ σ ι δυσθυμεόμενος* 'Αρχύτας 1.17 *π ο λ λ ο ὺ ς μὲν δὴ αὐτῶν οὐκ εἶναι ἁμῶν τᾷ φύσει οἵους τε γινώσκεσθαι, τοὺς μὲν διὰ τὰν ἀσθένειαν τᾶς πλαγᾶς, τοὺς δὲ διὰ τὸ μᾶκος τᾶς ἀφ' ἁμῶν ἀποστάσιος.* || **πολλοί.** 'Ηράκλειτος 17 *οὐ γὰρ φρονέουσι τοιαῦτα π ο λ λ ο ί, ὁκόσοι ἐγκυρεῦσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἑωυτοῖσι δὲ δοκέουσι* Δημόκριτος 53 *π ο λ λ ο ὶ λόγον μὴ μαθόντες ζῶσι κατὰ λόγον* 53a *π ο λ λ ο ὶ δρῶντες τὰ αἴσχιστα λόγους ἀρίστους ἀσκέουσιν* 97 *π ο λ λ ο ὶ δοκέοντες εἶναι φίλοι οὐκ εἰσί, καὶ οὐ δοκέοντες εἰσίν* 242 *π λ έ ο ν ε ς ἐξ ἀσκήσιος ἀγαθοὶ γίνονται ἢ ἀπὸ φύσιος.* || **οἱ πολλοί** (ἀντίθ. οἱ ἄριστοι). 'Ηράκλειτος 2 *τοῦ λόγου δ' ἐόντος ξυνοῦ ζώουσιν οἱ π ο λ λ ο ὶ ὡς ἰδίαν ἔχοντες φρόνησιν* 29 *αἱρεῦνται γὰρ ἓν ἀντὶ ἁπάντων οἱ ἄριστοι, κλέος ἀέναον θνητῶν· οἱ δὲ π ο λ λ ο ὶ κεκόρηνται ὅκωσπερ κτήνεα* 104 *οἱ π ο λ λ ο ὶ κακοί, ὀλίγοι δὲ ἀγαθοί.* || **πολλά.** 'Ηράκλειτος 35 *χρὴ γὰρ εὖ μάλα π ο λ λ ῶ ν ἵστορας φιλοσόφους ἄνδρας εἶναι* 'Αναξαγόρας 4.1-9 *τούτων δὲ οὕτως ἐχόντων χρὴ δοκεῖν ἐνεῖναι π ο λ λ ά τε καὶ παντοῖα ἐν πᾶσι τοῖς συγκρινομένοις καὶ σπέρματα πάντων χρημάτων καὶ ἰδέας παντοίας ἔχοντα ... καὶ τὴν γῆν αὐτοῖσι φύειν π ο λ λ ά τε καὶ παντοῖα* 6.7 *ἐν πᾶσι δὲ π ο λ λ ὰ ἔνεστι καὶ τῶν ἀποκρινομένων ἴσα πλῆθος ἐν τοῖς μείζοσί τε καὶ ἐλάσσοσι* 12.25-29 *μοῖραι δὲ πολλαὶ π ο λ λ ῶ ν εἰσι ... νοῦς δὲ πᾶς ὅμοιός ἐστι καὶ ὁ μείζων καὶ ὁ ἐλάττων. ἕτερον δὲ οὐδέν ἐστιν ὅμοιον οὐδενί, ἀλλ' ὅτων π λ ε ῖ σ τ α ἔνι, ταῦτα*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ